# Matt. 24:32-35

| Matth. 24,32-36 (16,28; 5,18) | Mark. 13,28-32 (9,1) | Luk. 21,29-33 (9,27; 16,17) | Joh. |
|---|---|---|---|
| 32 Ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν· ὅταν ἤδη ὁ κλάδος αὐτῆς γένηται ἁπαλὸς | 28 Ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν· ὅταν ⸂ἤδη ὁ κλάδος αὐτῆς⸃ ἁπαλὸς γένηται | 29 Καὶ εἶπεν παραβολὴν αὐτοῖς· ἴδετε τὴν συκῆν καὶ πάντα τὰ δένδρα· 30 ὅταν προβάλωσιν ⸀ἤδη, | |
| [Matth. 24,32-36] | [Mark. 13,28-32] | [Luk. 21,29-33] | Joh. |
| καὶ τὰ φύλλα ⸀ἐκφύῃ, ⸀γινώσκετε ὅτι ἐγγὺς ⸆ τὸ θέρος· 33 οὕτως καὶ ὑμεῖς, ὅταν ἴδητε ⸉πάντα ταῦτα⸊, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις. 34 ἀμὴν λέγω ὑμῖν °ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη ἕως °¹ἂν ⸂πάντα ταῦτα⸃ γένηται. 35 □ὁ οὐρανὸς καὶ ἡ γῆ ⸀παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν.⸌ 36 Περὶ δὲ τῆς ἡμέρας ἐκείνης ⸀καὶ ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν □οὐδὲ ὁ υἱός⸌, εἰ μὴ ὁ πατὴρ ⸆ μόνος. *(nr. 296 24,37-44 p. 409)* | καὶ ⸀ἐκφύῃ τὰ φύλλα ⸆, ⸀γινώσκετε ὅτι ἐγγὺς τὸ θέρος ἐστίν· 29 οὕτως καὶ ὑμεῖς, ὅταν ⸂ἴδητε ταῦτα⸃ γινόμενα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις. 30 Ἀμὴν ⸆ λέγω ὑμῖν ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη ⸀μέχρις ⸀οὗ ⸂ταῦτα πάντα γένηται⸃. 31 ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ °μὴ παρελεύσονται. 32 Περὶ δὲ τῆς ἡμέρας ἐκείνης ⸀ἢ °τῆς ὥρας οὐδεὶς οἶδεν, οὐδὲ ⸂οἱ ἄγγελοι⸃ ἐν ⸆ οὐρανῷ □οὐδὲ ὁ υἱός⸌, εἰ μὴ ὁ πατήρ ⸆. | βλέποντες ἀφ' ἑαυτῶν γινώσκετε ὅτι ⸉ἤδη ἐγγὺς⸊ τὸ θέρος ἐστίν· 31 οὕτως καὶ ὑμεῖς, ὅταν ἴδητε ταῦτα ⸀γινόμενα, ⸀γινώσκετε ὅτι ἐγγύς ἐστιν ἡ βασιλεία τοῦ θεοῦ. 32 ἀμὴν λέγω ὑμῖν ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη ἕως °ἂν ⸀πάντα γένηται. 33 ὁ οὐρανὸς καὶ ἡ γῆ ⸀παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ ⸀παρελεύσονται. *(nr. 295 21,34-36 p. 408)* | |
| 16,28 *(nr. 160, p. 234)* 28 Ἀμὴν λέγω ὑμῖν ὅτι εἰσίν τινες τῶν ὧδε ἑστώτων οἵτινες οὐ μὴ γεύσωνται θανάτου ἕως ἂν ἴδωσιν τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ. | 9,1 *(nr. 160, p. 234)* 1 Καὶ ἔλεγεν αὐτοῖς· ἀμὴν λέγω ὑμῖν ὅτι εἰσίν τινες ὧδε τῶν ἑστηκότων οἵτινες οὐ μὴ γεύσωνται θανάτου ἕως ἂν ἴδωσιν τὴν βασιλείαν τοῦ θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει. | 9,27 *(nr. 160, p. 234)* 27 Λέγω δὲ ὑμῖν ἀληθῶς, εἰσίν τινες τῶν αὐτοῦ ἑστηκότων οἳ οὐ μὴ γεύσωνται θανάτου ἕως ἂν ἴδωσιν τὴν βασιλείαν τοῦ θεοῦ. | |
| 5,18 *(nr. 54, p. 78)* 18 Ἀμὴν γὰρ λέγω ὑμῖν· ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται. | | 16,17 *(nr. 226, p. 309)* 17 Εὐκοπώτερον δέ ἐστιν τὸν οὐρανὸν καὶ τὴν γῆν παρελθεῖν ἢ τοῦ νόμου μίαν κεραίαν πεσεῖν. | |